διαφόροις τὰς ἐπὶ τὸν οἶκον εἰσβολὰς ἐπεμόει τῶν ἀπὸ ξύλων ἐπιπολῆς καὶ τὸν
περὶ αὐτὰς κόσμον καταποικίλλων. τὸν δὲ βασίλειον οἶκον πλουσιωτέραις
ἤδη καὶ δαψιλέσι ταῖς ὕλαις ὠχύρου, ἀφθόνῳ φιλοτιμίᾳ τῶν ἀναλωμάτων χρώμενος.
ἐν θαυμασίοις δοκῶ περιττὸν εἶναι τοῦ δομήματος μήκει τε καὶ πλάτει κατα-
γράφειν τὰ φαιδρὰ ταῦτα κάλλη· καὶ τὰ λόγου κρείττονα μεγέθη· τήν τε τῶν
ἔργων ἀποστίλβουσαν ὄψιν τῷ λόγῳ διεξιόντι· ὕψη τε τὰ οὐρανομήκη
καὶ τὰς τούτων ὑπερκειμένας πολυτελεῖς τοῦ Λιβάνου κέδρους· ὧν οὐδὲ
τὸ θεῖον λόγιον τὴν μνήμην ἀπεσιώπησεν· εὐφρανθήσεται φάσκον τὰ
ξύλα τοῦ κυρίου· καὶ αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσε. τί με δεῖ νῦν τῆς
πανσόφου καὶ ἀρχιτεκτονικῆς διατάξεως· καὶ τοῦ κάλλους τοῦ ἐφ᾽ ἑκάστου
μέρους ὑπερβολῆς ἀκριβολογεῖσθαι τὴν ὑφήγησιν· ὅτε τῆς ὄψεως τὴν
διὰ τῶν ὤτων ἀποκλείει μάθησιν ἡ μαρτυρία· ἀλλὰ γὰρ ὧδε καὶ τὸν νεὼν
ἐπιτελέσας, θρόνοις τε τοῖς ἀνωτάτω εἰς τὴν τῶν προέδρων τιμὴν
καὶ προσέτι βάθροις ἐν τάξει τοῖς καθόλου κατὰ τὸ πρέπον κοσμήσας, ἐφ᾽ ἅ-
πασί τε τὸ τῶν ἁγίων ἅγιον θυσιαστήριον ἐν μέσῳ θείς. αὖθις καὶ τάδε ὡς ἂν
εἴη τοῖς πολλοῖς ἄβατα, τοῖς ἀπὸ ξύλου περιέφραττε δικτύοις· εἰς
ἄκρον ἐντέχνου λεπτουργίας ἐξησκημένοις· ὡς θαυμάσιον τοῖς
ὁρῶσι παρέχειν τὴν θέαν. ἀλλ᾽ οὐδὲ τοὔδαφος ἄρα εἰς ἀμελὲς ἔκειτο αὐτῷ·
καὶ τόδε γοῦν λίθῳ μαρμάρῳ σὺν παντὶ κόσμῳ λαμπρύνας, ἤδη
λοιπὸν καὶ ἐπὶ τὰ ἐκτὸς τοῦ νεὼ μετῄει· ἐξέδρας καὶ οἴκους τοὺς παρ᾽ ἑκάτερα
μεγίστους ἐπισκευάζων εὐτέχνως ἐπὶ ταὐτὸ εἰς πλευρὰ τῷ βασιλείῳ ἐπε-
ζευγμένους· καὶ ταῖς ἐπὶ τὸν μέσον οἶκον εἰσβολαῖς ἡνωμένους· ἃ καὶ αὐτὰ τοῖς ἔτι
καθάρσεως καὶ περιρραντηρίων τῶν διὰ ὕδατος καὶ ἁγίου πνεύματος ἐγχρῄ-
ζουσι· ὁ εἰρηνικώτατος ἡμῶν Σολομὼν ὁ τὸν νεὼν τοῦ θεοῦ δειμάμενος ἀπειργάσατο·
ὡς μηκέτι λόγον ἀλλ᾽ ἔργον γενέσθαι τὴν ἀρτίως λεχθεῖσαν προφητείαν· γέ-
γονεν γὰρ καὶ νῦν ὡς ἀληθῶς· ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν προτέραν.
ἔδει γὰρ καὶ ἀκόλουθον ἦν τοῦ ποιμένος αὐτῆς καὶ δεσπότου τὸν ἅπαξ τὸν ὑπὲρ
αὐτῆς θάνατον καταδεξαμένου· καὶ μετὰ τὸ πάθος ὃ χάριν αὐτῆς ῥυπῶν ἐ-
νεδύσατο σῶμα ἐπὶ τὸ λαμπρὸν καὶ ἔνδοξον μεταβεβληκότος, αὐτήν τε
σάρκα τὴν λυθεῖσαν ἐκ φθορᾶς εἰς ἀφθαρσίαν ἀναγαγόντος· καὶ τὴν δὲ ὁμοίως
τῶν τοῦ σωτῆρος οἰκονομιῶν ἐπαύρασθαι· ὅτι δὴ καὶ τούτων πολὺ κρείττονα λαβοῦσα
παρ᾽ αὐτοῦ τὴν ἐπαγγελίαν, τὴν πολὺ μείζονα δόξαν τῆς παλιγγενεσίας ἐν ἀ-
φθάρτου σώματος ἀναστάσει· μετὰ τῶν ἀγγέλων χορεῖ ἐν τοῖς οὐρανῶν ἐπέκεινα
τοῦ θεοῦ βασιλείας σὺν αὐτῷ Χριστῷ Ἰησοῦ τῷ παναγάθῳ εὐεργέτῃ καὶ σωτῆρι διὰ παντὸς ἐπιτελέσω